θεμένων, ἀλλὰ καὶ σπουδὴν τὴν πρέπουσαν ἀναδεξαμένων, στέλλον-
τινες τῶν ἐκ ἀσημιῶν ἀνὰ πᾶσαν τὴν Ῥωμαϊκὴν ἀρχήν·
τοὺς, οἵτινες ἂν φωραθεῖεν τῆς τοιαύτης κάτοχοι θεομαχίας
(ἐπείπερ πολλάκις αὐτοὺς αἱ τῶν ἀρχιερέων καὶ ἱερέων νου-
θεσίαι καὶ παραινέσεις, οὐδὲν οὔτε ὤνησαν, οὔτε μεταβαλεῖν
ἔπεισαν τὴν ἀσέβειαν) τούτους οὕτως ἀμεταθέτως ἔχοντας,
ὡς κοινὴν λύμην, καὶ φθορὰν τοῦ γένους, πρὸς τὸν διὰ ξίφους
θάνατον ὑπάγειν. Ἧκεν οὖν τὰ προστάγματα καὶ εἰς τὴν
καλουμένην χώραν τῶν Ἀρμενιακῶν. Θωμᾶς δὲ ἦν τῇ
καῦτα Νεοκαισαρείας ἐπίσκοπος, καί τις ἕτερος, Παρα-
κονδάκης ἐπώνυμος, ἐξάρχων κατ' ἐκεῖνο καιροῦ τῶν, ὅσοι
τῆς κατὰ τὸν βίον σεμνότητος εἴχοντο, καὶ τὴν ὑψηλοτέ-
ρας πολιτείας ἐποιοῦντο ἐπάγγελμα, συντηρεῖν τὰ θέσμια.
Τούτων τοίνυν τῶν ἀνδρῶν ἑκάτερος ἅμα συνεδριάζων
μετὰ καὶ ἑτέρων τινῶν λογίων, βασιλικὸν δεξάμενοι θέ-
οὓς ἂν τῶν ἀποστατῶν ἡ πολιτικὴ χεὶρ ἐρευνῶσα εὑρίσκοι-
τε καὶ συνελάμβανε, καὶ πρὸς αὐτοὺς διεπέμπετο, ἐξήτα-
ζόν τε καὶ ἐλογοθέτουν λεπτομερέστερον. Καὶ τοὺς ὑπαιτίους
τῶν ἀναιτίων φιλοκρινοῦντες, τοὺς μὲν ἀπέλυον· (ἔστι δ' οὓς
ἐπιτιμίοις ἐκκλησιαστικοῖς καθυπέβαλλον) τοὺς δὲ παν-
τελῶς ἀνιάτους, οἱ πολιτικοὶ νόμοι, καὶ τῶν ἐν αὐτοῖς ἀρ-
χόντων παρελάμβανε * τὸ δικαιότερον [* ἱερὸ δικαστήριον]. Οὕτω δὴ τῆς ἐρεύνης
τε καὶ κρίσεως, καὶ τοῦ λογοθεσίου καὶ τῆς πράξεως προϊού-
σης, μερίζονται τῶν εἰρημένων κριτῶν τὴν σφαγὴν οἱ λε-
γόμενοι κυνοχωρῖται, καὶ οὓς ἐπωνόμαζον ἀστάτους. Ἦσαν
δὲ οὗτοι τῶν τοῦ Σεργίου μαθητῶν οἱ λογάδες. Οἱ μὲν οὖν
ἄστατοι, μηδενὸς ἑτέρου δεηθέντες, αὐτοὶ καθ' ἑαυτοὺς
δόλῳ καὶ προδοσίᾳ κατασφάζουσι τὸν εἰρημένον ἔξαρχον.

Τοῖς δὲ

http://digital.slub-dresden.de/ppn345414306/47